## 17 IANUARIE

# IDIOMELE SF.MUCENIC GHEORGHE DE LA IOANINA



ATENA,1954


Ὁ Ἅγ.
Γεώργιος
Ὁ ἐν
Ἰωαννίνοις
Τὰ Ἰωάννινα

# 17 ΙΑΝΟΥΑΡΙΟΣ
# ΓΕΩΡΓΙΟΣ ΝΕΟΜΑΡΤΥΣ ΙΩΑΝΝΙΝΩΝ
# ΙΔΙΟΜΕΛΑ

**(Ὑπὸ ἱερομονάχου Χρυσάνθου Λαϊνᾶ. Δημητρίου Σαλαμάγκα: Ὁ Νεομάρτυρας Ἅγιος Γεώργιος Ἰωαννίνων, Ἀθήνα, 1954)**

*Ἦχος α΄.*

Χαῖρε καὶ εὐφραίνου ἐν Κυρίῳ, ἡ λαμπρὰ πόλις Ἰωαννίνων, ἡ ἀξιωθεῖσα κατέχειν ἐν κόλποις τὸν νέον Ἀθλητὴν καὶ Μάρτυρα Γεώργιον. Οὗτον γὰρ τὸν γενναῖον οὐκ ἔκαμψαν βάσανοι, οὐ θωπεῖαι τυράννων, οὐκ ἄνθος νεότητος, οὐ στοργὴ γυναικός, οὐδ᾽ ὁ πόθος τοῦ νεωτάτου υἱοῦ αὐτοῦ, ἀλλὰ σκύβαλα ἡγήσατο πάντα ἵνα Χριστὸν κερδήσῃ, ὅθεν καὶ δι᾽ ἀγχόνης ἀνέπτης πρὸς Αὐτὸν γηθοσύνως, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Ἀθλητὰ Γεώργιε, εἰ καὶ ἐκ τῆς πόλεως Γρεβενῶν ἐβλάστησας, ἀλλὰ τῶν Ἰωαννίνων πλέον γίνεσαι, ἐν αὐτῇ γὰρ ἀθλήσας, ταύτην ἐπορφυρώσας, δι᾽ ὃ καὶ καυχωμένη βοᾷ· σὺ υἱός μου νεώτατος πέφυκας. Πρέσβευε τῷ Σῷ κατὰ χάριν Πατρί, καὶ ἐμῷ Δεσπότῃ, τοῦ σωθῆναι τὰς ψυχὰς τῶν ἐν πίστει ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

*Ὁ αὐτός.*

Μέγας εἶ Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, ὅτι καὶ ἐν τοῖς καθ' ἡμᾶς αἰῶσι νέον κομιδὴ ὄντα τὸν θεῖον Γεώργιον πρὸς τοὺς μαρτυρικοὺς ἀγώνας ἐνίσχυσας, ὅθεν τῇ σῇ ῥωννύμενος θείᾳ δυνάμει ἐν εἱρκτῇ φρουρούμενος, καὶ ἐν ξύλῳ κακουχούμενος, ἁλύσεσί τε δεσμούμενος καὶ πλάκα ἐπὶ τοῦ στήθους φέρων, τὸ σὸν πανάγιον διαπρυσίως ἐκήρυττεν ὄνομα, τὴν δὲ τῶν ἀθέων Ἀγαρηνῶν πλάνην ἀπτοήτως ἐξήλεγχεν, ὑφ' ὧν καὶ ἀπαγχονισθείς, τοῦ μαρτυρίου δρόμον διήνυσας, καὶ ταῖς τῶν Μαρτύρων χορείαις ἀξίως συνετέθης, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος πλ. Α΄.*

Δεῦτε χριστοφόροι λαοί, τὰ ἄνθη τῶν ἀρετῶν δρεψάμενοι, ἐπὶ τὸν τάφον προσδράμωμεν τοῦ Νέου Ἀθληφόρου καὶ κατίδωμεν θαυμάτων τὴν ἐνέργειαν, ἐκπλήττουσαν πᾶσαν ἀκοὴν καὶ ἔννοιαν, ἣν οἱ πίστει προσιόντες λαμβάνουσιν. Νηπίοις ἀλάλοις ἐχαρίσατο τὴν φωνήν, χωλοῖς δὲ τὴν εὐθυδρομίαν, καὶ γυνὴ δέ τις ἐξηραμμένην τὴν χεῖρα ἔχουσα καὶ διανυκτερεύουσα τῷ τάφῳ τὴν ἴασιν ἐδωρήσατο, ἀλλ' ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι Θεός, πρὸς αὐτὰ ἐκβοήσωμεν· ἀνάστα Κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, ἱκεσίαις τοῦ Ἀθλοφόρου, σῶσαι λαὸν κινδυνεύοντα.

*Ὁ αὐτός*

Δεῦτε φιλομάρτυρες πάντες, καὶ τῆς ἁγνείας ἐρασταί, δεῦτε ἐκκαθάρωμεν ἑαυτούς, καὶ οὕτω τῷ τάφῳ προσεγγίσωμεν τοῦ Νέου Ἀθλοφόρου καὶ τῷ Θεῷ προσκομίσωμεν τὸ τρισόκλεον δῶρον τῶν ἀρετῶν, πίστιν, ἐλπίδα καὶ ἀγάπην. Πίστιν πιστεύοντες, ὅτι ζῶν ὁ λόγος τοῦ Θεοῦ καὶ ἄνω γῆς ὑπάρχει καὶ διχοτομεῖ τοὺς γλωσσαλγοῦντας κατὰ τῆς ἀμωμήτου ἡμῶν πίστεως· ἐλπίζοντες ὅτι ὁ πιστεύων εἰς αὐτόν, κἂν ἀποθάνῃ, ζήσεται· ἀγάπην ὁ ἀγαπῶν ταῖς ἐντολαῖς Αὐτοῦ ἀγαπηθήσεται παρὰ τοῦ Πατρὸς καὶ Πνεύματος Ἁγίου. Καὶ βεβαιοῖ με ὁ εἰς εὐφημίαν προσκείμενος Ἀθλητὴς Γεώργιος, οὗ ταῖς ἱκεσίαις ὁ Θεός, ἐλέησον ἡμᾶς.

*Ἦχος πλ. Β΄.*

Σήμερον καθείργνυται ἐν ζόφῳ ὁ ἐν Μάρτυσιν ὡς ἑωσφόρος λάμπων, ἕλκεται τυραννικῶς ὡς ὑπεύθυνος ὁ κατὰ πλάνης βασιλεύς, φρικτοῖς ἀγῶσι περιβάλλεται ὁ καταβαλὼν τὸν σοφιστὴν τῆς κακίας, μίσημα εὗρεν ἄδικον ἀπὸ καρδίας ὑπερφιλήσας τὸν Χριστόν, θνήσκειν κατεκρίθη ὁ θανάτου κατευμεγεθήσας, ἀγχόνῃ ἐκρεμάσθη ὁ φθορεὺς τῆς ἀπάτης. Προσκυνοῦμέν σου τὰ ἄθλα Γεώργιε στεῤῥέ, δίδου ἡμῖν τὴν σωτήριόν σου ἀντάμειψιν.

## Ἦχος πλ. Δ΄.

Ἡ φωνὴ τῆς ἀθλήσεώς σου, Μάρτυς Γεώργιε, διεχύθη εἰς τὰ πέρατα τοῦ κόσμου καὶ γέγονεν ἀνάστασις τῶν πιστῶν καὶ πτῶσις τῶν ἀπίστων. Δι' ὃ κἀγώ σου δέομαι ἐκτενῶς· ἱκέτευε πρὸς Κύριον τοῦ ἀναστῆσαί με ἐκ βαράθρων τῶν πταισμάτων μου, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

## Ὁ αὐτός

Τὸν πανσέβαστον Μάρτυρα Γεώργιον, τίς μὴ ἐγκωμιάσει; ἢ τίς μὴ κατ' ἀξίαν ἐπαινέσει; Οὗτον γὰρ τὸν γενναιότατον, διὰ τὴν ἐν Χριστῷ ὁμολογίαν, οὐκ ἐφοβήθησαν τῶν τυράννων αἱ ἀπειλαί, οὐκ ἔκαμψαν τῶν βασάνων αἱ προσβολαί, οὐκ ἔλυσε τὸ σκεῦος αὐτοῦ τὸ πήλινον, ποθῶν τὸν ἐραστὴν διὰ μυρίων βασάνῳ, διαβῆναι πρὸς Χριστὸν τὸν Θεόν, ᾯ καὶ πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

